+

# ΑΚΟΛΟΥΘΙΑ
# ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ Τῌ ΝΗΣῼ ΛΗΜΝῼ
# ΑΓΙΩΝ

(συνεορταζομένων τῷ Β΄ Σαββάτῳ τοῦ μηνὸς Ἰουλίου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης
Ἐκκλησίας,
προνοίᾳ τοῦ παν/του ἱερομονάχου Γ. Φωτίου
Γρηγοριάτου,
Λημνίου.

* 2004 *



## Τῼ Β΄ ΣΑΒΒΑΤῼ ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

## ΜΝΗΜΗ ΠΑΝΤΩΝ ΤΩΝ ΕΝ ΛΗΜΝῼ ΑΓΙΩΝ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν τὰ ἀκόλουθα προσόμοια .*

*Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τῆς νήσου Λήμνου προστάτας,  
δεῦτε τιμήσωμεν,  
οἱ εὐσεβεῖς ἐν ὕμνοις,  
ἐξαιτούμενοι τούτων,  
πρεσβείας πρὸς Δεσπότην,  
ὅπως καλῶς,  
τὴν ζωὴν διανύσωμεν,  
καὶ Βασιλείας τευξώμεθα οὐρανῶν,  
σὺν χοροῖς Ἁγίων ἅπασι.

Τρωθεῖσαι ἔρωτι θείῳ,  
Παρθενομάρτυρες,  
ἠθλήσατε γενναίως,  
ἡ κλεινὴ Εὐφημία,  
Μελιτηνή τε θεία,  
καὶ σὺν ὑμῖν,  
Γλυκερία ἡ πάνσεμνος,  
νῦν δὲ τὴν Λῆμνον φρουρεῖτε, ἥτις ποτέ,  
ὑμῶν λείψανα ἐφύλαξεν.

Ὁ ἱεράρχης ὑμνείσθῳ,  
θεῖος Στρατήγιος,

τῆς Λήμνου ποιμενάρχης
καὶ Συνόδου Νικαίας,
τῆς πρώτης ὢν γενναῖος προασπιστής,
σὺν δὲ τούτῳ Γρηγόριος,
ὁ Παλαμᾶς ὃς ἐξόριστος θαυμαστῶς,
τοὺς Λημνίους εὐηργέτησε.

Τὸν ἀρχιθύτην Ἐφέσου,
Μᾶρκον τὸν ἔνδοξον,
Εὐθύμιον Τυρνόβου,
Ἰωσήφ τε τὸν γόνον,
τῆς νήσου Λήμνου ὕμνοις χρεωστικῶς,
εὐφημήσωμεν σήμερον,
ἵνα πλουτῶμεν πρὸς Κύριον πρεσβευτάς,
τούτους πάντες οἱ χριστώνυμοι.

Τῶν μοναστῶν οἱ φωστῆρες,
Λῆμνον ἡγίασαν,
αὐτῶν τῇ παρουσίᾳ
Ἀθανάσιος Ἄθω,
Θεόδωρος Στουδίτης,
Σάββας σαλός,
καὶ κλεινὸς Διονύσιος,
οἵτινες χεῖρας ὑψοῦντες ὑπὲρ ἡμῶν,
τὸν Δεσπότην ἱκετεύουσι.
Νεομαρτύρων δυάδα,
Λήμνιοι, στέψωμεν,
ἄνθεσιν ἐγκωμίων,
Ἀθανάσιον πρῶτον,
σὺν τούτῳ Κωνσταντῖνον πλάνην δεινήν,
τοῦ Μωάμεθ πατήσαντας,
καὶ διατόρως κηρύξαντας τὸν Χριστόν,
Θεὸν τέλειον καὶ ἄνθρωπον.

*Δόξα. Ἦχος β΄.*

Οἱ ἐν διαφόροις καιροῖς καὶ περιστάσεσιν,

τῷ Θεῷ εὐαρεστήσαντες ,
δεκατετράριθμοι Ἅγιοι τῆς Λήμνου,
καὶ ὁμοστόχως πλουτήσαντες ἕκαστος,
τὴν οὐρανῶν Βασιλείαν,
τοὺς συντιμῶντας τὴν ὑμετέραν εὐφρόσυνον σύναξιν,
οὐρανόθεν ἐπιῤῥάνατε πλουσίαις εὐλογίαις,
ὅπως ἐκ τῆς κοιλάδος ταύτης τοῦ κλαυθμῶνος,
εἰς τὸν εἰρηναῖον λιμένα τῆς ἄνω Σιών,
σὺν ὑμῖν καταπαύσωμεν χαίροντες.

*Καὶ νῦν. Τὸ Θεοτοκίον (Δογματικὸν) τοῦ τυχόντος ἤχου τῆς ἑβδομάδος.*

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον, Ἀναγνώσματα.*

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

*(γ΄ 1 - 9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἄψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. Οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα*

*(ε΄15 - στ΄ 3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ

τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτῶν καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.*
*(δ΄ 7 - 15)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α΄.*

Συνεορτάσωμεν φαιδρῶς, χριστώνυμοι τῆς Λήμνου,
τοὺς μετὰ Θεὸν προστάτας ἡμῶν καὶ πρέσβεις,
καὶ τούτων τὰς πράξεις καὶ τὸν βίον μιμησώμεθα·
καὶ γὰρ θεόστιλπτα κάτοπτρα γεγονότες,
ἀντιφεγγίζουσιν ἡμῖν τὴν χάριν τοῦ Πνεύματος,
παρέχοντες τοῖς εὐλαβῶς αὐτοὺς τιμῶσιν,
εἰρήνην Χριστοῦ καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Τοῦ Ἀρχιποίμενος Χριστοῦ τῇ ἀγάπῃ στοιχειωθέντες,
τῆς κατὰ Λῆμνον Ἐκκλησίας εὐεργέται ἀνεδείχθητε,
ἐν διαφόροις καιροῖς, Ἱεράρχαι τιμιώτατοι·
τῇ γὰρ ὑψώσει τῶν χειρῶν ὑμῶν,
οὐρανοφοίτους δωρεὰς κατεβιβάζετε,
καὶ τὴν ζωὴν τοῦ Χριστοῦ τοῖς εὐσεβέσι παρέσχετε·
ὅθεν καὶ νῦν ὑπὲρ ἡμῶν πρεσβεύσατε,
τῷ Σταυρωθέντι δι᾽ ἡμᾶς,
Ἀρχιερεῖς ἁγιώτατοι.

*Ἦχος γ΄.*

Τοῦ ἀθανάτου Νυμφίου τῷ ἔρωτι καταληφθέντες,
οὐδὲν τιμιώτερον ἡγήσασθε τῆς ἀγάπης Αὐτοῦ,
Παρθενομάρτυρες καὶ Νεομάρτυρες·
καὶ γὰρ τὸ πλήρωμα τῆς ζωῆς εἰληφότες,
ἄνευ Αὐτοῦ βιῶσαι οὐκ ἠδύνασθε·
ὅθεν ὡς ἐθελόθυτα σφάγια Χριστῷ προσενεχθέντες,
καὶ κατατρυφῶντες νῦν τῆς θέας τοῦ Προσώπου Αὐτοῦ,
μέμνησθε ἡμῶν τῶν πιστῶν Λημνίων,
τρισμακάριστοι.

*Ἦχος δ´.*

Τὴν ὁσιότητα ὡς ἀσπίδα ἀκαταμάχητον ἐνδυσάμενοι,
ὅλον ὑμῶν τὸν βίον μαρτυρικῶς διηνύσατε,
Πατέρες ὁσιώτατοι·
τῇ γὰρ ἀσκήσει ὡς συνεχεῖ θανάτῳ,
τῷ ἠγαπημένῳ Κυρίῳ συμμορφωθέντες,
καὶ ἐν ὑπομονῇ τῶν παθῶν καθαρθέντες,
ἐπετύχετε τῆς μακαρίας θεώσεως·
ἐν ᾗ μὴ παύσητε πρεσβεύειν καὶ ὑπὲρ τῆς Λήμνου,
τῆς ὑμᾶς ξενισάσης, ὦ φιλόθεοι.

*Δόξα. Ἦχος πλ.α´.*

Τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ,
ἀκριβεῖς τηρηταὶ καὶ ποιηταὶ γενόμενοι,
δεκατετράριθμοι προστάται τῆς Λήμνου,
νῦν συμβασιλεύετε ἐν ἀγαλλιάσει Αὐτῷ.
Ἐν μαρτυρίῳ γάρ, ποιμαντορίᾳ τε καὶ ἀσκήσει,
ὁμοστοχήσαντες καὶ πολιτευθέντες,
τῆς Ἐκκλησίας δόξα καὶ καύχημα ἀνεδείχθητε.
Ὅθεν μὴ ἐπιλάθεσθε καὶ ἡμῶν, δεόμεθα,
ὅπως συγκληρονόμοι γενώμεθα τῆς ἀφθάρτου ζωῆς.

*Καὶ νῦν. Μακαρίζομέν σε.*

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ
*Στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.α´. Χαίροις ἀσκητικῶν.*

Χαίροις ἡ τῶν Μαρτύρων πεντάς,
ἡ νῆσον Λήμνου μυστικῶς ἁγιάζουσα,
πανεύφημε Εὐφημία,
Μελιτηνὴ ἡ σεμνή,
Γλυκερία θεία παρθενόαθλε,
κλεινὲ Ἀθανάσιε,
τῆς πατρίδος σου καύχημα,

καὶ Κωνσταντῖνε,
νεομάρτυς τρισόλβιε,
ἐθελόθυτα καὶ χριστόθυτα σφάγια·
πάντες χεῖρας ὑψώσατε,
Τριάδα αἰτούμενοι,
ὅπως πλουσίως ἐκχέῃ,
ἡμῖν τὰ θεῖα χαρίσματα,
καὶ πάντας μετόχους,
ἀναδείξῃ Βασιλείας,
ὑμᾶς τοὺς μέλποντας.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

Χαίροις Ποιμεναρχῶν τοῦ Χριστοῦ,
ἡ πενταυγὴς συναγωγὴ καὶ πανάριστος,
οἱ Λῆμνον ἐπευλογοῦντες,
θεοπειθέσιν εὐχαῖς,
καὶ φωτὶ Κυρίου καταυγάζοντες·
ὁ θεῖος Στρατήγιος,
ὁ Τυρνόβου Εὐθύμιος,
Θεσσαλονίκης,
ὑπερμήκης Γρηγόριος,
Μᾶρκος μέγιστος,
τῶν δογμάτων ὑπέρμαχος,
νήσου ταύτης τὸ βλάστημα,
ρουμάνων ἀγλάϊσμα,
Τιμισιοάρας προστάτης,
ὁ Ἰωσὴφ ὁ τρισόλβιος.
Χριστόν, Ἱεράρχαι,
πατρικαῖς ὑμῶν πρεσβείαις,
καταμειλίξατε.

*Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις ὁσιακὸς ὁρμαθός,
οἱ ἐν τῷ σώματι ἐπίγειοι ἄγγελοι,

Θεόδωρος ὁ Στουδίου,
κοινοβιάρχης σεπτός,
στύλος Ὄρος Ἄθω
Ἀθανάσιος,
ὁ λύχνος ἀσκήσεως,
καὶ σαλὸς κατ᾽ ἐπίφασιν,
μέγιστος Σάββας,
καὶ Ὀλύμπου θησαύρισμα,
Διονύσιος,
μοναστῶν τὰ καυχήματα·
Λῆμνον, Πατέρες ὅσιοι,
τὴν πάλαι ξενίσασαν,
ὑμᾶς ἐν χρόνοις ποικίλοις,
ἀντιμισθίαις πλουτίσατε,
εὐχαῖς ἀηττήτοις,
πρὸς Δεσπότην, Ὃν ἀσκήσει,
κατεδοξάσατε.
*Δόξα. Ἦχος δ΄.*

Ἔχει καὶ Λῆμνος προστάτας μεγίστους ἐκ Θεοῦ,
τοὺς σήμερον συντιμωμένους ᾄσμασι φαιδρῶς·
σὺν τῷ χορῷ τῶν ἐνδόξων Μαρτύρων,
τοὺς Ποιμενάρχας τοὺς εὐκλεεῖς,
καὶ τῶν Ὁσίων Πατέρων τὴν συνοδίαν.
Οὗτοι γὰρ ἀντιδώρως τῆς ἐνταυθὶ κατὰ καιρὸν ξενίας,
πάντες ἐπιρραίνουσιν οὐρανόθεν,
τὰς ὑπὲρ ἡμῶν πρεσβείαις πρὸς τὸν Φιλάνθρωπον Κύριον.

*Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον. Νεῦσον παρακλήσεσι.*

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τοὺς ἐν Λήμνῳ Ἁγίους ἐν ᾠδαῖς ἀνυμνήσωμεν,
οἱ αὐτῶν πλουτοῦντες πρεσβείας,
πρὸς Φιλάνθρωπον Κύριον·

Παρθένους, Ἱεράρχας, Ἀσκητάς,
καὶ Μάρτυρας τῆς πίστεως κλεινούς,
προστασίαν ἐξαιτούμενοι ἐκ ψυχῆς,
ἐν βίῳ πολυκύμονι·
δόξα βοῶντες τῷ Χριστῷ,
Ὅστις αὐτοὺς ἐδόξασεν,
καὶ ἐχαρίσατο ἡμῖν,
τοιούτους ἀντιλήπτορας.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Σεμνὴ Μελιτηνή,
Εὐφημία παρθένε,
καὶ μάρτυς εὐκλεής,
τοῦ Χριστοῦ Γλυκερία,
σεπτὲ Ἀθανάσιε,
Κωνσταντῖνε πανεύφημε,
οἱ ἀθλήσαντες,
ἐν διαφόροις τοῖς τόποις,
καὶ τοῦ Πνεύματος,

τὴν χάριν δόντες τῇ Λήμνῳ,
ἀεὶ αὐτῆς μέμνησθε.

*Δόξα. Καὶ νῦν.*
*Θεοτοκίον, ὅμοιον.*

Ἀνύμφευτε Ἁγνή,
Θεοτόκε Μαρία,
ἡ μόνη τῶν πιστῶν,
προστασία καὶ σκέπη,
κινδύνων καὶ θλίψεων,
καὶ δεινῶν περιστάσεων,
πάντας λύτρωσαι,
τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας,
Κόρη ἔχοντας,
καὶ τὰς ψυχὰς ἡμῶν σῶσον,
ταῖς θείαις πρεσβείαις σου.

*Εἰς τὴν β΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Θεῖε Γρηγόριε,
Μᾶρκε πανάριστε,
κλεινὲ Στρατήγιε,
σεπτὲ Εὐθύμιε,
καὶ Ἰωσὴφ ποιμὴν Χριστοῦ,
τὴν Λῆμνον εὐλογήσατε,
καὶ καθοδηγήσατε,
πρὸς νομὴν τὴν αἰώνιον,
ποίμνην τὴν χριστώνυμον,
ἥτις μνήμην χαρμόσυνον,
ὑμῶν ἐπιτελεῖ καὶ γεραίρει,
δόξαν Θεῷ ἀποδιδοῦσα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Ὡς ἀγεώργητος,

Παρθένε ἄμπελος,
τὸν ὡραιότατον,
βότρυν ἐβλάστησας,
ἀναπηγάζοντα ἡμῖν,
τὸν οἶνον τὸν σωτήριον,
πάντων τὸν εὐφραίνοντα,
τὰς ψυχὰς καὶ τὰ σώματα,
ὅθεν ὡς αἰτίαν σε,
τῶν καλῶν μακαρίζοντες,
ἀεὶ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι·
Χαῖρε, ἡ Κεχαριτωμένη.

*Μετὰ τὸν Πολυέλεον.*
*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Τῶν Ὁσίων ἄθροισμα,
ἐν νήσῳ Λήμνῳ,
διαφόροις ἔτεσιν,
διαλαμψάντων εὐκλεῶς,
συνεορτάσωμεν σήμερον,
αὐτῶν πρεσβείας,
σεπτὰς ἐξαιτούμενοι.

*Δόξα. Καὶ νῦν.* Θεοτοκίον, ὅμοιον.

Χαῖρε θρόνε πύρινε,
τοῦ Βασιλέως,
καὶ λυχνία πάγχρυσε,
φωτὸς τοῦ θείου τὰς ψυχάς,
καὶ διανοίας λαμπρύνουσα,
τῶν ἀνυμνούντων,
σὲ Κόρη πανύμνητε.

*Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.* Ἐκ νεότητός μου.
*Προκείμενον·* Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

*Στίχος·* Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

*Εὐαγγέλιον, κατὰ Ματθαῖον·* Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου.
*(βλ.εἰς Θ.Λειτουργίαν Τριῶν Ἱεραρχῶν)*

*Ὁ Ν΄.* Ἐλέησόν με ὁ Θεός....
*Δόξα.* Ταῖς τῶν σῶν Ἁγίων.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.
*καὶ τὸ ἰδιόμελον. Ἦχος πλ.β. Στίχ. Ἐλέησόν με ὁ Θεός....*

Χαρμονικῶς τὰς χεῖρας κρότησον,
σήμερον ἡ νῆσος Λῆμνος,
καὶ τῷ Δεσπότῃ ἑορτάζουσα βόησον·
ἰδοὺ ἐγὼ καὶ ἡ ἁγιώνυμος πληθύς,
ἣν μοι δέδωκας, Κύριε,
ἧς ταῖς πρεσβείαις,
φύλαττε καὶ σῶζε,
τοὺς ὧδε εἰς σὲ πιστεύοντας.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου...κλπ.*
*Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:*
**"Λήμνου Ἁγίους ὕμνοις φαιδρῶς τιμήσω. Ἀ(θανάσιος)".**
*Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην φαραώ.*

Λήμνου Ἁγίους ἐν ᾠδαῖς τιμήσωμεν,
δεῦτε χριστώνυμοι,
οἱ πλουτοῦντες τούτων,
προστασίαν ἄσειστον,
καὶ βίους μιμησώμεθα,
δι' ὧν στέφει ἀφθάρτῳ,
παρὰ Χριστοῦ κατεστέφθησαν,
ἵνα σωτηρίας τευξώμεθα.

Ἡγεμονεύσας τῶν παθῶν, Στρατήγιε,

ἐν θείῳ Πνεύματι,
Λήμνου ἀνεδείχθης,
ποιμενάρχης ἄριστος,
καὶ πίστιν τὴν Ὀρθόδοξον,
ἐν Νικαίᾳ κηρύξας,
τὸν ματαιόφρονα Ἄρειον,
σὺν λοιποῖς πατράσιν ἐδίκασας.

Μαρτυρικῶς τῷ Ἰησοῦ συνήρμοσαι,
Ὅνπερ ἠγάπησας,
κόρη Γλυκερία,
θείοις ἀγωνίσμασι,
καὶ Λῆμνον κατηυλόγησας,
τῷ τιμίῳ σου σκήνει,
ἣν ἐς ἀεὶ διαφύλαττε,
ταῖς θεοπειθέσι πρεσβείαις σου.

*Θεοτοκίον*

Νῦν οἱ Χριστῷ διὰ λουτροῦ Βαπτίσματος,
ἐγκεντρισθέντες Ἁγνή,
καὶ ψυχὰς ποικίλαις,
ἁμαρτίαις χράναντες,
Σὲ πρέσβιν προβαλλόμεθα,
πρὸς Αὐτὸν ἐκζητοῦντες,
ὅπως τὴν ἄφεσιν λάβωμεν,
ὧνπερ ἀδεῶς ἐξημάρτομεν.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Οὐρανὸς γενομένη,
τοῦ Ἰησοῦ ἔνδοξε,
ἅπαντα τὰ ῥέοντα βίου,
ταχέως ἔλιπες,
καὶ ὥς τις ἔλαφος,
διψητικῶς Τοῦτον εὗρες,
Εὐφημία πάντιμε,

παρθένων καύχημα.

Ὑπὲρ μέλιτος γεῦσιν,
Μελιτηνὴ πάνσεμνε,
ἔχουσα ψυχῇ σου τιμίᾳ,
τὸν θεῖον ἔρωτα,
ὡς ὁλοκαύτωμα,
τῷ σῷ Νυμφίῳ προσήχθης,
καὶ μαρτύρων εἴληφας,
στέφανον ἄφθαρτον.

Ἄτλας ἄλλος τις ἔφυς,
ὀρθοδοξῶν ἄριστα,
Μᾶρκε ἀρχιθῦτα Ἐφέσου,
ὅτε ἐβρόντησας,
τὰ θεῖα δόγματα,
ἐν τῇ συνόδῳ Φεῤῥάρας,
καὶ τῇ ἐξορίᾳ σου,
Λῆμνον ἡγίασας.

*Θεοτοκίον*

Γαβριὴλ σοι τό, Χαῖρε,
χαρμονικῶς εἴρηκεν,
Πάναγνε σεμνὴ Θεομῆτορ,
ὅπερ συνᾴδομεν,
πάντες Ὀρθόδοξοι,
οἱ τῶν ψυχῶν σωτηρίαν,
παγγενῆ εὑράμενοι,
διὰ τοῦ τόκου σου.

*Κάθισμα. Ἦχος πλ.α΄. Τὸν συνάναρχον Λόγον.*

Ὁδηγοὶ σωτηρίας ἡμῖν γενήθητε,
καὶ προστάται ἐν βίῳ θεομακάριστοι,
Ἅγιοι Λήμνου τῷ Θεῷ εὐαρεστήσαντες,
καθικετεύοντες Αὐτόν,

ὅπως συγχώρησιν ἡμῖν,
πταισμάτων δοῦναι ἁπάντων,
καὶ οὐρανῶν Βασιλείας,
πολίτας δείξῃ ὡς Πολυέλεος.

*Δόξα. καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Σὲ λιμένα καὶ τεῖχος καὶ καταφύγιον,
καὶ ἐλπίδα καὶ σκέπην καὶ προστασίαν θερμήν,
εὑρηκότες οἱ πιστοὶ πρὸς σε προστρέχομεν,
καὶ ἐκβοῶντες ἐκτενῶς,
ἀνακράζομεν πιστῶς·
ἐλέησον Θεοτόκε,
τοὺς ἐπὶ σοὶ πεποιθότας,
καὶ τῶν πταισμάτων ἀπάλλαξον.

*Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.*

Ἱεραρχῶν πέφηνας,
μέγας Γρηγόριε,
ἐκδιδάξας,
εἶναι τὸ θαβώρειον φῶς τοῦ Θεοῦ,
σύμφυτον Αὐτῷ,
καὶ ἀκτίστους φήσας,
τὰς ἐνεργείας θεότητος,
ὧν χάριτι πληροῦνται,
οἱ πιστοὶ ἐκ καρδίας,
ἁμαρτίας τοὺς ῥύπους διώκοντες.

Οὔτε θυμὸς ἴσχυσεν,
θεῖε Εὐθύμιε,
οὔτε θρόνου,
πρὸς καιρὸν διάστασις,
οὐ διωγμός,
ἄνακτος σκληρός,
ἐν τῇ νήσῳ Λήμνῳ,
ζῆλον μειῶσαι καρδίας σου,

ἀλλὰ τοῦ σοῦ Δεσπότου,
μιμητὴς ἐγεγόνεις,
καὶ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων σε.

Ὕμνοις τὴν σήν, συμπατριῶται γεραίρουσι,
θείαν μνήμην,
Ἰωσὴφ πανάριστε,
ὅτι ἐκφὺς Λήμνου θαυμαστῶς,
τῆς Τιμισιοάρας,
ποιμὴν ἐδείχθης ἐν γήρατι,
καὶ τέρασι μεγίστοις,
ἐκ Θεοῦ ἐδοξάσθης,
ἐκ τοῦ τάφου ἐκβλύζων ἰάματα.

*Θεοτοκίον*

Σοῦ τῆς ψυχῆς, τὸ ὑπερστίλβον ἁγνότητι,
ὁ Δεσπότης,
Ἄχραντε ἠγάπησε,
καὶ σαρκωθεὶς πάντων τῶν κτιστῶν,
καὶ ἀκτίστων μέσον,
ὑπεραξίως ἀνέδειξε·
διὸ δοξάζομέν σε,
οἱ πιστοὶ κατὰ χρέος,
μητρικὴν σου πρεσβείαν αἰτούμενοι.

*Ὠδὴ ε΄. Ἱνατί με ἀπώσω.*

Ὕλην πᾶσαν πατήσας,
ἔτι ἀπὸ βρέφους πάτερ Ἀθανάσιε,
Ἄθωνος ἐφάνης,
οἰκιστὴς καὶ θεόστιλπνον πρότυπον,
πρότερον ἐκ Λήμνου,
ἰδὼν τὸ Ὄρος καὶ ἐν τούτῳ,
σῶν ἀγώνων παλαίστραν στησάμενος.

Μὴ ἐνδοὺς παραβάσει,

ἄνακτος, Θεόδωρε, Στουδίου καύχημα,
τοῦτον ἐξελέγξας,
ἐξορίαν ὑπέμεινας ἄδικον,
ὅθεν καὶ τὴν Λῆμνον,
χαριτοβλύτῳ παρουσίᾳ,
ἐπευλόγησας, πάτερ μακάριε.

Νοερὰν ἐργασίαν,
ἐξασκῶν ἐκ τοῦ Ὄρους, Σάββα, ἐμάκρυνας,
τὸν Χριστὸν διώκων,
ὡς σαλὸς τοῖς πολλοῖς ἐκφαινόμενος,
τότε δὴ καὶ νῆσον,
ἡμῶν τῆς Λήμνου κατειλήφεις,
ἔνθα ἔλαμψας βίῳ ἐνθέῳ σου.

*Θεοτοκίον*

Οὐρανῶν πλατυτέρα,
ἀνεδείχθης βαστάσασα Μῆτερ ἐν κόλποις σου,
πλάσαντα τὸν κόσμον,
καὶ ἀνθρώπων μεσῖτις γεγένησαι,
οὐρανοὺς ποιοῦσα,
τὰς τῶν τιμώντων σε καρδίας,
ἐν αἷς λάμπει Χριστὸς ὥσπερ ἥλιος.

*Ὠδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.*

Ἱλάσθητι Ἀγαθέ,
Διονυσίου δεχόμενος,
πρεσβείας ὁσιακάς,
νήσῳ Λήμνῳ ἔνθαπερ,
οὗτος ὁ τρισόλβιος,
πρὸς Σιὼν ὁρμήσας,
ἐπ᾽ ὀλίγον ἀνεπαύσατο.

Σωτῆρά Σου ἐπιγνούς,
ὦ Κωνσταντῖνε τρισόλβιε,

τὸν Κύριον ’Ιησοῦν,
῎Αγαρ κατεφρόνησας,
καὶ ἐν Λήμνῳ ἔμεινας,
ὅτε πρὸς τὸν ῎Αθω,
τὴν πορείαν σου κατεύθυνας.

Φρονήματι θεϊκῷ,
τῆς Λήμνου γόνε μακάριε,
φερόμενος τὴν ἀχλύν,
τοῦ Μωάμεθ ἔλιπες,
καὶ τὸ στέφος εἴληφας,
πνιγμονῇ βιαίᾳ,
νεομάρτυς ’Αθανάσιε.

*Θεοτοκίον*

῾Αμαρτωλοῦ τὴν φωνήν,
καὶ τὸν κλαυθμὸν δέξαι, ῎Ανασσα,
παρέχουσα μητρικῶς,
στοργικὴν ἀγάπην σου,
καὶ τῆς σωτηρίας μοι,
δέομαί σου, δίδου,
ἐμφανῶς, ῾Αγνή, πειστήρια.

**Κοντάκιον. ῏Ηχος δ΄. ῾Ο ὑψωθείς.**

Οἱ ἁγιώνυμοι προστάται τῆς Λήμνου,
μὴ διαλίπητε πρεσβεύειν Κυρίῳ,
ὑπὲρ αὐτῆς δεόμενοι φυλάττεσθαι ἀεί,
ἀπὸ πάσης θλίψεως,
πειρασμῶν καὶ κινδύνων,
ὅπως μνήμην πάντιμον,
τὴν ὑμῶν ἑορτάζῃ,
καὶ ἀνυμνῇ τὸν μόνον ’Αγαθόν,
τὸν χορηγοῦντα,
τῷ κόσμῳ τὸ ἔλεος.

## Ὁ Οἶκος

Διαφόροις καιροῖς καὶ ἐν πράξεσιν,
ἀρετῆς τῷ Θεῷ τοὺς εὐαρεστήσαντας,
καὶ ἐν τῇ Λήμνῳ ποικιλοτρόπως εὑρεθέντας Ἁγίους,
δεῦτε σήμερον εὐσεβοφρόνως συντιμήσωμεν,
ἀφορῶντες εἰς τὰ αὐτῶν θεῖα κατορθώματα,
τὴν ποιμεναρχίαν, τὰ ἀθλήματα, τὴν ἄσκησιν.
Οὕτω γὰρ τὸν παλαιὸν ἐκδυσάμενοι ἄνθρωπον,
δυνησόμεθα φορέσαι τὸν ἐπουράνιον,
καὶ δοξάσαι ἐν βίῳ καὶ μετὰ θάνατον,
τὸν χορηγοῦντα τῷ κόσμῳ τὸ ἔλεος.

## Τὸ Συναξάριον

**Τῇ αὐτῇ ἡμέρᾳ, δευτέρῳ Σαββάτῳ τοῦ μηνὸς Ἰουλίου, τὴν Σύναξιν ἑορτάζομεν πάντων τῶν ἐν Λήμνῳ Ἁγίων.**

*Στίχοι*

Λιμένα δότε οὐρανῶν τοῖς τιμῶσιν,
Ὑμῶν τὴν μνήμην, ὦ Ἅγιοι τῆς Λήμνου.
Χορὸς Ἁγίων ἐν Λήμνῳ σήμερον ὁμοῦ κυδαίνεται.

*Ὑπόμνημα*

*Οἱ δεκατετράριθμοι γνωστοὶ Ἅγιοι προστάται τῆς νήσου Λήμνου οἱ ἐκ ταύτης καταγόμενοι ἢ μετ᾽ αὐτῆς σχετισθέντες διαφόροις τρόποις καὶ χρονικαῖς περιστάσεσιν, ὧν τὴν Σύναξιν πανηγυρικῶς σήμερον ἑορτάζομεν, οὗτοι εἰσὶν κατὰ τάξιν.*

*Α΄. Ἱεράρχαι:*

*1. Στρατήγιος, ἐπίσκοπος Λήμνου, λαβὼν μέρος εἰς τὴν ἐν Νικαίᾳ Α΄ ἁγίαν Οἰκουμενικὴν Σύνοδον, ἔνθα σὺν τοῖς λοιποῖς ἁγίοις Πατράσιν , τὴν βλάσφημον διδασκαλίαν τοῦ ἀσεβοῦς Ἀρείου καταδικάσας,*

*ἀνεκήρυξε τὴν Θεότητα τοῦ Λόγου καὶ ἐστήριξε τὴν Ὀρθοδοξίαν.*

*2. Γρηγόριος ὁ Παλαμᾶς, ἀρχιεπίσκοπος Θεσσαλονίκης, ὅστις ἐπὶ τριετίαν ὢν ἐξόριστος εἰς Λῆμνον καὶ ἐλλείποντος ἐπιτοπίου ἐπισκόπου, ἐπετέλει τοποτηρητικῶς πάντα τὰ ἀρχιερατικὰ αὐτοῦ καθήκοντα, διαφόροις θαυμασίοις κοσμήσας τὴν ποιμαντορικὴν ταύτην διακονίαν.*

*3. Μᾶρκος ὁ Εὐγενικός, ἐπίσκοπος Ἐφέσου. Ὁ Ἄτλας οὗτος τῆς Ὀρθοδοξίας καὶ παπομάστιξ Ἱεράρχης διετέλεσεν ἐξόριστος εἰς Λῆμνον, ἔνθεν καὶ ἔγραψεν ἐγκύκλιον κανονικὴν καὶ νουθετήριον ἐπιστολήν τοῖς ἁπανταχοῦ Ὀρθοδόξοις, ἐνισχύων τὴν ἐμμονὴν εἰς τὰ πατρῷα τῆς Πίστεως καὶ κρατύνων τὰ θεοπαράδοτα καὶ σωτήρια δόγματα.*

*4. Εὐθύμιος, ἀρχιεπίσκοπος Τυρνόβου.(1375-1393) Ὁ ἁγιότητι βίου διακριθεὶς καὶ ὑπὸ τὸν τίτλον "Πατριάρχης Βουλγαρίας", ἐξωρίσθη καὶ οὗτος ἐν Λήμνῳ, ἐπὶ αὐτοκράτορος Ἰωάννου Παλαιολόγου(1341-1391), καταλιπὼν φήμην ἁγίου ἱεράρχου.*

*5. Ἰωσὴφ ἐπίσκοπος Τιμισιοάρας τῆς ἐν Ρουμανίᾳ. Ἐκ Λήμνου καταγόμενος ἀπὸ μητρός, ἐκάρη καὶ ἐπὶ ἔτη μακρὰ ὁσιακῶς ἠσκήθη ἐν Ἁγίῳ Ὄρει, ὁπόθεν εἰς προβεβηκυῖαν ἡλικίαν ἐξελέγη ἐπίσκοπος καὶ διεποίμανεν τὴν Ἱερὰν ἐπισκοπὴν Τιμισιοάρας, ἐν σημείοις ποικίλοις καὶ πολλαῖς θαυματουργίαις διαπρέψας καὶ τὸν βίον ἐπιστέψας. Τὸ ἱερὸν αὐτοῦ λείψανον, διασῴζεται καὶ μεγάλως τιμᾶται παρὰ τῶν εὐλαβῶν Ρουμάνων ἐν τῷ καθεδρικῷ ναῷ τῆς πόλεως Τιμισιοάρας.*

*Β΄. Ὅσιοι*

*1. Ἀθανάσιος ὁ Ἀθωνίτης. Ἐκ Λήμνου ἰδών ποτε τὸν Ἄθωνα, ὁ πατριάρχης οὗτος καὶ μέγας νομοθέτης τοῦ ἁγιορειτικοῦ μοναχισμοῦ, ἀπεφάσισεν ἔκτοτε νὰ ἐγκατασταθῇ ἐκεῖσε, ὅπερ καὶ μετὰ καιρὸν ἐπραγματοποίησεν. Κατὰ τὴν τοπικὴν παράδοσιν τῆς*

*νήσου, οἱ πρῶτοι ἐργάται-κτίσται τῆς Μεγίστης Λαύρας ἦσαν Λήμνιοι.*

*2. Θεόδωρος ὁ Στουδίτης. Ὁ περίφημος οὗτος κοινοβιάρχης καὶ ὑπερασπιστὴς τῶν ἱερῶν Εἰκόνων, ἐξορισθεὶς ὑπὸ τοῦ αὐτοκράτορος εἰς Θεσσαλονίκην, διαβαίνων διέμεινεν ἐπί τι εἰς Λῆμνον, ὁπόθεν ἀπέστειλεν καὶ σῳζομένην γλαφυροτάτην ἐπιστολὴν εἰς τὸν πνευματικὸν πατέρα καὶ γέροντα ἑαυτοῦ ὅσιον Πλάτωνα, ἐν ᾗ ἐκθέτει ἀριστοτεχνικῶς τὰ τῆς πρὸς τὴν συμπρωτεύουσαν πορείας ἐπισυμβάντα.*

*3. Ὅσιος Σάββας, ὁ βατοπαιδηνός, ὁ κατὰ Χριστὸν σαλὸς καὶ μέγας ἡσυχαστής. Μεταβαίνων εἰς Ἁγίους Τόπους διῆλθεν καὶ ἐστάθμευσεν ἐπ' ὀλίγον εἰς Λῆμνον, ὡς ὁ Πατριάρχης καὶ βιογράφος αὐτοῦ ἅγιος Φιλόθεος ὁ Κόκκινος μαρτυρεῖ.*

*4. Ὅσιος Διονύσιος ὁ ἐν Ὀλύμπῳ. Καὶ οὗτος ὁ Ὅσιος, ὡς ἐμφαίνεται εἰς τὴν περὶ αὐτοῦ πλατεῖαν βιογραφίαν, διῆλθεν ἐκ Λήμνου πορευόμενος εἰς Ἱεροσόλυμα. Ἐπιτόπιοι διηγήσεις, ἀφορῶσαι τὸν Ὅσιον, διατηροῦνται εἰσέτι εἰς τὴν προφορικὴν παράδοσιν τῶν Λημνίων.*

*Γ΄. Μάρτυρες.*

*1. Ἁγία Μελιτηνή. Ἧς ἡ μνήμη τῇ 16ῃ Σεπτεμβρίου, ἐκ Μαρκιανουπόλεως τῆς Θράκης, ἤθλησεν ἐπὶ αὐτοκράτορος Ἀντωνίου (138-160) διὰ ξίφους. Τὸ τίμιον λείψανον αὐτῆς παραλαβὼν εὐλαβής τις χριστιανός, Ἀκάκιος ὀνόματι, ἐπὶ σκοπῷ μεταφορᾶς εἰς τὴν ἑαυτοῦ πατρίδα, ἀσθενήσας ἐν Λήμνῳ ἐναπεθησαύρισεν τοῦτο εἰς τὸν τόπον ἐν ᾧ καὶ οὗτος μετ' ὀλίγον κοιμηθεὶς ἐτάφη.*

*2. Ἁγία παρθενομάρτυς Γλυκερία. Ἐκ Τραϊανουπόλεως τῆς Θράκης καταγομένη, ἐμαρτύρησεν κατὰ τοὺς χρόνους τοῦ ὡς ἄνω αὐτοκράτορος Ἀντωνίου εἰς Ἡράκλειαν, ἔνθα καὶ ἀρχικῶς ἐτάφη. Τὸ τίμιον σκῆνος αὐτῆς μετεφέρθη μετέπειτα εἰς Λῆμνον, ἔνθα εὑρίσκετο κατὰ τὴν περίοδον 796 - 806 μ.Χ. ὡς*

*μαρτυρεῖ ὁ μητροπολίτης Τίου Κωνσταντῖνος ἐν τῷ Λόγῳ αὐτοῦ περὶ τοῦ τιμίου λειψάνου τῆς ἁγίας Εὐφημίας.*

*3. Ἁγία καὶ πανεύφημος μεγαλομάρτυς Εὐφημία. Ταύτης τῆς ἁγίας μεγαλοπαρθενομάρτυρος, ἥτις ἤθλησεν ἐν Χαλκηδόνι κατὰ τὸν 3ον μ.Χ.αἰῶνα, τὸ τίμιον λείψανον ἁρπαγὲν ἐπὶ εἰκονομαχίας ἐκ τῆς ἱερᾶς λάρνακος τοῦ ἱεροῦ ναοῦ αὐτῆς ἐν τῇ Κωνσταντινουπόλει καὶ ἀποῤῥιφθὲν εἰς τὴν θάλασσαν τοῦ Βοσπόρου, ὑπὸ τοῦ αὐτοκράτορος Λέοντος Ἰσαύρου, ὡς ἱστορεῖ ὁ μητροπολίτης Τίου Κωνσταντῖνος, μετεφέρθη θαυματουργικῶς ὑπὸ τῶν κυμάτων εἰς τὴν Λῆμνον, ἐξ ἧς, μετὰ σειρὰν γεγονότων ἐπανεκομίσθη πανηγυρικῶς καὶ αὖθις εἰς Βασιλεύουσαν, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου Πατριάρχου Ταρασίου, εὑρισκόμενον σήμερον ἐν τῷ σεπτῷ πατριαρχικῷ ναῷ τοῦ ἁγίου μεγολομάρτυρος Γεωργίοῦυ ἐν Φναρίῳ.*

*4. Ἅγιος νεομάρτυς Κωνσταντῖνος ὁ ἐξ Ἀγαρηνῶν. Ἐκ Ψηλομετώπου τῆς Λέσβου καταγόμενος καὶ ἐξ ἀγαρηνῶν ἕλκων τὸ γένος, ὁ ἔνδοξος οὗτος νεομάρτυς, μετὰ πολλὰς περιπετείας τοῦ βίου, ἐκ Σμύρνης ἠβουλήθη μεταβῆναι εἰς Ἅγιον Ὄρος, ἵνα λάβῃ τὸ ἅγιον Βάπτισμα. Κατὰ τὴν πορείαν ταύτην ἐστάθμευσεν ἐπ' ὀλίγον εἰς τὴν Λῆμνον, μεθ' ὃ ἐπεδόθη ὅλῃ ψυχῇ εἰς τὴν μαρτυρικὴν ἀναζήτησιν τοῦ νοητοῦ Μαργαρίτου, ἀθλήσας τελικῶς κατὰ τὸ ἔτος 1819, Ἰουνίου 2ᾳ, ἐν τῇ Κωνσταντινουπόλει*

*5. Ἅγιος νεομάρτυς Ἀθανάσιος. Λήμνιος τὴν καταγωγήν, ὁ ἅγιος οὗτος καὶ ὄψιμος νεομάρτυς, ἀπῆλθεν ἀρχικῶς εἰς Ἅγιον Ὄρος. Ἐκεῖθεν αἰχμαλωτισθεὶς ὑπὸ τῶν Τούρκων, ἐξισλαμίσθη βιαίως καὶ ὑπανδρεύθη, ζῶν ἀσεβῶς, εἰς Αἴγυπτον. Κατόπιν ἐμφανίσεως τοῦ ἁγίου Ἀθανασίου μετανοήσας, διώρθωσε τὰ καθ' ἑαυτὸν καὶ ἐπανῆλθεν εἰς Λῆμνον, ἔνθα ἐπολιτεύετο εὐσεβῶς καὶ ἐν μετανοίᾳ. Μὴ ὑποφέροντες ὅμως οἱ ἐκεῖσε ἀγαρηνοὶ τὴν ὑπ' αὐτοῦ ἄρνησιν τῆς πλάνης τοῦ μουσουλμανισμοῦ, βαλόντες καταναγκαστικῶς*

*τὸν Ἅγιον εἰς πλοῖον, ἐβύθισαν καὶ ἔπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν τοῦ Ἑλλησπόντου κατὰ τὸ ἔτος 1846.*

*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ τῆς ἡμέρας*

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός,**
**ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

*Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.*

Ἴασιν πάσης ἀσθενείας,
χορηγήσατε,
Λημνίοις εὐσεβέσιν,
Εὐφημία σεμνή,
καὶ Γλυκερία μάρτυς,
Μελιτηνή τε ἔνδοξε,
ἱκετεύουσαι Δεσπότην.

Δῶρον ἐδόθητε τῇ Λήμνῳ,
νεομάρτυρες,
Χριστοῦ ἐσχάτοις χρόνοις,
Κωνσταντῖνε κλεινέ,
σὺν τῷ Ἀθανασίῳ,
καὶ πλάνης ἀπαλάττετε,
τοὺς ὑμᾶς τιμῶντας πόθῳ.

Ῥύσασθε πάσης ἐπηρείας,
Ἀρχιποίμενες,
τοῦ νοητοῦ θηρίου,
τοὺς Λημνίους πιστούς,
ὡς μιμηταὶ Κυρίου,
καὶ τούτους ὁδηγήσατε,
εἰς νομὰς τὰς αἰωνίους.

*Θεοτοκίον*

Ὥσπερ νεφέλη δροσοφόρος,

Παναμώμητε,
τὴν νῆσον Λήμνου σκέπε,
καὶ πυρὸς πειρασμῶν,
κατάσβεσον τὰς φλόγας,
τὰς ἀπειλούσας θάνατον,
αἰωνίου καταδίκης.

*Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.*

Συνοδία Ὁσίων τῶν ἐν Λήμνῳ,
οἱ ἀσκήσει σκληρᾷ,
εὑρόντες Βασιλείαν,
ἡμᾶς εἰκόνα τοῦ Θεοῦ καταμαυρώσαντας,
κράζομεν βοῶντες·
πλύνατε δεήσει,
ὑμῶν πρὸς τὸν Δεσπότην,

Τὴν Τριάδα δοξάσαντες ἐν βίῳ,
μοναστὰς πρὸς ζωήν,
ἀεὶ καθοδηγεῖτε,
καὶ τοὺς πιστοὺς ἀφώνως ἐκδιδάσκετε,
τὴν πρὸς τὸν Δεσπότην,
ἔχειν ἐν καρδίαις,
ἀείκαυστον ἀγάπην.

Ἱεράρχαι Κυρίου θεοφόροι,
οἱ τῆς νήσου ἡμῶν,
ἀκοίμητοι εὐχέται,
ποιμενικῷ αὐλῷ ψυχὰς καταγλυκάνατε,
πάντων τῶν ἐν πίστει,
μνήμην ἐκτελούντων,
ὑμῶν τὴν παναγίαν.

*Θεοτοκίον*

Μητρικαῖς σου πρεσβείαις Θεοτόκε,
τοῦ Δεσπότου,

ὀργὴν δικαίαν παῦσον,
καὶ γὰρ Αὐτὸν ἀεὶ λυποῦμεν πράξεσιν,
ἔργοις καὶ ἐννοίαις,
οἱ λελυτρωμένοι,
Αὐτοῦ φρικτῇ θυσίᾳ.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἡφαίστου ψευδοθέου ἡ μυθική,
ἱστορία ἀπέσβετο Ἅγιοι,
ὅτε Χριστοῦ,
ἔλαμψεν ἐν Λήμνῳ τὸ θεῖον φῶς,
ἐξ οὗ ὑμεῖς ηὐγάσθητε,
καὶ καθοδηγεῖτε πρὸς τὸν Θεόν,
τοὺς ὅσοι προσεχόντως,
σεπτοῦ Εὐαγγελίου
θεῖα προστάγματα φυλάττουσι.

Σκεπάσατε τὴν Λῆμνον εὐχαῖς ὑμῶν,
τοῦ Θεοῦ δεκατέσσαρες Ἅγιοι,
οἱ ἐν αὐτῇ,
θείαις ἀναλάμψαντες ἀρεταῖς,
καὶ διαβόλου λύσατε,
τὰς ψυχολεθρίους ἐπιβουλάς,
διδόντες ἡμῖν πᾶσι,
ἀκλόνητον εἰρήνην,
καὶ σωτηρίαν τὴν αἰώνιον.

Ὡς μήτηρ ἐπὶ τέκνοις, Λῆμνος κλεινή,
ἐπευφραίνου πλουτοῦσα Ἁγίους σου,
οἳ ἐκτενῶς,
αἴρουσι τὰς χεῖρας ἱκετικῶς,
καὶ ἐξαιτοῦσι χάριτας,
τὰς οὐρανοφοίτους παρὰ Θεοῦ,
ὑπὲρ τῶν κατοικούντων,
ἐν σοὶ καὶ ἐλπιζόντων,
εὑρεῖν πατρίδα ἐπουράνιον.

*Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε Μῆτερ Θεοῦ,
καὶ πιστῶν ἀῤῥαγὲς καταφύγιον,
τὸν σὸν Υἱόν,
πρέσβευε ἀπαύστως σὺν τῷ χορῷ,
Ἁγίων οἳ φυλάττουσι,
Λῆμνον ὡς Κυρίου προασπισταί,
δεικνύσα συμμετόχους,
τῆς δόξης τῆς ἀφθάρτου,
τοὺς ἀνυμνοῦντάς σε, Πανάχραντε.

*Ἐξαποστειλάριον*
*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Χορὸς δεκατετράριθμος,
τῶν Ἁγίων τῆς Λήμνου,
Χριστὸν καθικετεύσατε,
ὑπὲρ ὅσοι τιμῶσι,
τὴν ἱερὰν ὑμῶν μνήμην,
ὅπως εὕρωμεν χάριν,
εἰρήνην ἀκατάσειστον,
ἐν πελάγει τοῦ βίου,
καὶ τῶν πολλῶν,
ἄφεσιν πταισμάτων καὶ σωτηρίαν,
καὶ τὸν λιμένα φθάσωμεν,
Οὐρανῶν Βασιλείας.

*Θεοτοκίον, ὅμοιον*

Τιμιωτέρα πέφυκας,
Χερουβὶμ τῶν ἐνδόξων,
καὶ Σεραφὶμ Πανύμνητε,
τῶν φρικτῶν ἀσυγκρίτως,
ἐνδοξοτέρα καὶ πάντων,
τῶν ἁγίων Ἀγγέλων,

ἁγιωτέρα Πάναγνε·
τὸν γὰρ Κτίστην τῶν ὅλων,
σωματικῶς,
ἀποῤῥήτως τέτοκας Θεοτόκε,
Ὃν αἴτησαι τοῖς δούλοις σου,
λύτρον δοῦναι πταισμάτων.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Οὐ τὴν Λημνίαν σκιάζει βοῦν,
Ἄθωνος ὄρους σκιά,
ἀλλ’ ἡ Χάρις τοῦ Πνεύματος,
δι’ ὑμῶν μακάριοι,
νήσου ταύτης ἐφίπταται,
καὶ τῶν σκανδάλων τοῦ πολεμήτορος,
ῥύεται πάντας τοὺς εὐσεβόφρονας,
καὶ ἔνθεν δείκνυσι,
τὰ καλὰ πειστήρια ὡς ἐναργῶς,
σωτηρίας ἅπασιν,
ὑμᾶς τιμῶσι πιστοῖς.

Δεκατετράριθμοι ὤφθητε,
Λήμνου προστάται κλεινοί,
ἀλλὰ πλῆθος χαρίζετε,
τοῖς πιστοῖς δωρήματα,
ταῖς ὑμῶν παρακλήσεσιν·
διὸ αἰτούμεθα, παμμακάριστοι,
παθῶν ἀχλύος ἡμᾶς λυτρώσασθε,
καὶ φῶς χαρμόσυνον,
τοῦ Χριστοῦ δωρήσασθαι τοῖς εὐλαβῶς,
μνήμην ὑμῶν πάντιμον,
πανηγυρίζουσι.

Μαρτυρικοῖς ἀγωνίσμασι,
καὶ ποιμανσίᾳ σοφῇ,

ἢ δακρύοις ἀσκήσεως,
Ἅγιοι γεγόνατε,
Λήμνου νήσου οἱ φύλακες·
ὅθεν βοῶμεν μετόχους δείξατε,
ἡμᾶς ἀγάπης τοῦ Παντοκράτορος,
καὶ τὴν προσπάθειαν,
πρὸς τὴν ὕλην παύσασθε διὰ σφοδρᾶς,
ἐνεργείας πάντιμοι,
εὐχῶν ὑμῶν δραστικῶν.

Ἐν τροπικαῖς περιστάσεσι,
καὶ ποικιλίᾳ καιρῶν,
νήσῳ Λήμνῳ συνήφθητε,
οἱ δεκατετράριθμοι,
τοῦ Χριστοῦ φίλοι γνήσιοι·
καὶ γὰρ τοὺς πάντας ἑνοῖ ὁ Κύριος,
ἑνοειδείᾳ Ἁγίου Πνεύματος,
καὶ σῶμα τίμιον,
Ἐκκλησίας δείκνυσι θεοπρεπῶς,
καὶ Ἁγίους ἔνδοξα,
μέλη αὐτῆς μυστικῶς.

*Δόξα. Ἦχος ὁ αὐτός.*

Ἐν τῷ πελάγει τοῦ βίου πικρῶς χειμαζόμενοι,
καὶ πειρασμῶν τοῖς κύμασι δεινῶς καταποντιζόμενοι,
πρὸς ἡμᾶς τὴν ἐλπίδα τῆς σωτηρίας ἐθέμεθα,
δεκατετράριθμοι προστάται φιλτάτης Λήμνου.
Σπεύσατε καὶ λυτρώσασθε ἡμᾶς,
μήποτε αἰωνίως τοῦ Χριστοῦ χωρισθῶμεν·
ἀλλὰ διὰ μετανοίας ὁλοτελοῦς, Αὐτῷ συνάψατε,
καὶ δείξατε ἡμᾶς τέκνα ἐκλεκτὰ τοῦ Παραδείσου,
ἔνθα δοξάσωμεν Τριάδα τὴν Ἁγίαν καὶ πανυπέρτιμον.

*Καὶ νῦν. Δέσποινα πρόσδεξαι*

*Μεγαλυνάριον*

Ὁ δεκατετράστερος οὐρανός,
τῶν Ἁγίων Λήμνου,
καταφώτισον τὰς ψυχάς,
τῶν πιστῶς ὑμνούντων,
βίους σεπτοὺς καὶ ἆθλα,
καὶ πέμπε οὐρανόθεν
χάριν τοῦ Πνεύματος.

*Στίχοι*

Τὴν νῆσον Λήμνου εὐχαῖς ἀεὶ φρουρεῖτε,
Οἱ ἐν αὐτῇ τιμώμενοι, Χριστοῦ φίλοι.

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 26. 5. 2004.